ρον δὲ, καὶ γέλωτος χάριν, τοῦ κάλλους τὸ ἀτιμότατον μέρος ὠνόμασεν, ἀντὶ τοῦ ὅλου. Οὕτω καὶ ὀλίγον ὕστερον, ὁ Ἀθηναῖος λέγει,

Ἐγὼ δὲ κύσθον γ' οὐδέπω καλλίονα.

παραπλησίως καὶ Ὅμηρος πολλάκις τὰς καλὰς γυναῖκας, καλλιπαρήους, ἢ καλλισφύρους, ἀπὸ μέρους, καλεῖ. Ὑμᾶς δ' ἀφήσειν.] τὸ τῆς Λυσιστράτης πρόσωπον ἐνταῦθα παραγραπτέον, οὐ τὸ τῶν Λακώνων, ὡς πρότερον. οὐκ ἴσθ' ὅτι, ἀντὶ τοῦ, οὐκ ἴστε, οὐκ οἴδατε ὅτι. τὸ δὲ αὖθις αὖ, ἐκ παραλλήλου, καὶ συνωνύμως εἴρηται, ἀντὶ τοῦ, πάλιν, ἐκ δευτέρου. Κατωνάκας.) κατωνάκη, ὡς ἐν ταῖς Ἐκκλησιαζούσαις προείρηται, δουλικὸς ἦν καὶ ἀνελεύθερος χιτών. δοκοῦσι δὲ τοῦτον ἀμφιέσασθαι Ἀθηναῖοι, τῶν περὶ Πεισίστρατον τυράννων ἐπαναγκασάντων, ἵνα ὑπὸ εὐτελείας μὴ κατίωσιν εἰς ἄστυ οἱ πολῖται. μέχρι γὰρ τῶν γονάτων ἦν δήκος. ὁ δὲ νοῦς οὗτος, οὐκ ἴσθ' ὅτι ἡ τῶν Λακεδαιμονίων βοήθεια, ὑμᾶς δουλικοῦ τοῦδε καὶ ἀνελευθέρου φορήματος, τουτέστι τῆς κατωνάκης ἐλευθερωθέντας, εἰθισμένην χλαῖναν αὖθις ἀμφιέσασθαι ἐποίησεν; ἀλλὰ τὴν τούτων ἐξήγησιν διὰ πλειόνων, καὶ ἀκριβέστερον εἰδέναι ἔξεστιν, ἐκ τοῦ Ἡροδότου, ἐν τῷ τῆς αὐτοῦ ἱστορίας πέμπτῳ. Πολλοὺς μὲν ἄνδρας.] καὶ γὰρ τῶν Θετταλῶν οἱ πλεῖστοι, τῷ Ἱππίᾳ ἐβοήθουν. διὸ ἐπιφέρει, πολλοὺς δ' ἑταίρους Ἱππίᾳ. καὶ τούτων διεξοδικὴν ἱστορίαν ἔχεις, ἐν τῷ αὐτῷ τοῦ Ἡροδότου πέμπτῳ. Οὔπα.) οὔπω γυναῖκα χαϊωτέραν, εἴτε εὐγενεστέραν ὄπωπα, ἤγουν εἶδον. τὸ δὲ οὔπα Δωρικῶς εἴρηται τοῦ ω μεγάλου εἰς α τραπέντος, ὡς ἐν τῷ

A πρᾶτος, καὶ πρᾶτον, ἀντὶ τοῦ πρῶτος, καὶ πρῶτον. ἐκ δὲ τοῦ χαῖος, κατὰ διάλυσιν χάϊος, ὅθεν τὸ χαϊώτερος παρῆκται. περὶ ὧν ἐν τοῖς ἄνω προείρηται. Ἐγὼ δὲ κύσθον.) κύσθος, καὶ κύσος, τὸ γυναικεῖον αἰδοῖον. ὃ καὶ χοῖρος καλεῖται. Ὑπηργμένων.) τὰ ὑπηργμένα λέγεται τὰ προκαταρξάμενα, τὰ πρότερον ἀρξάμενα εἴτε εὐεργετήματα, εἴτε καὶ κακουργήματα, ὧν τὴν ἀμοιβὴν ἀμείβεσθαι φιλοῦμεν. ὁ δὲ νοῦς. διὰ τί δὲ ὑμεῖς πολλὰ καὶ ἀγαθὰ ὑπ' ἀλλήλων ἤδη παθόντες, ὧν χάριν ἔδει ὑμᾶς ἀνταποδοῦναι, ἀλλήλοις ὅμως μάχεσθε; Τί τοὐμποδών.)
B τί τὸ ἐμποδών ἐστιν; τί τὸ ἐμπόδιον, καὶ κώλυμα; τί ὑμᾶς ποιεῖσθαι διαλλαγὰς κωλύει;

CHR. Περικλείδευσα ποτέ.) Lego Περικλείδας ποτέ, Nam sic vocat Plutarchus in vita Cimonis & hos versus Aristophanis laudat, aitque Cimonem suasisse hoc auxilium dissuadente Ephiollo & prohibente. Ἡ δὲ Μεσσήνη τότε) Quum Ilotæ & Messenij insurrexerunt, propter Ithomam arcem, tum Lacedæmonij opem petierunt
C ab Atheniensibus qui Cimonem Miltiadis filium cum imperio miserunt. vt præter Thucydidem lib. 1. disertè Plutarchus narrat in vita ipsius Cimonis. Πολλοὺς δ' ἑταίρους.) Lege ἑταίρους & ξυνεκμαχῶντες nam μαχᾶν est pugnaturire. θέλειν μάχεσθαι. Χαϊωτέραν.] Lacedæmonij χαᾶ vocant τὰ ἀγαθὰ, Sic suprà χαῖα μὲν ναὶ τὼ σιώ. At ὑπηργμένων est κεχορηγημένων.

D

| | | |
|---|---|---|
| | Λα. Ἀμές γε, λώμεθ'. αἴ τις ἁμὶν τοὔγκυκλον | LA. Hæc nos auemus, si quid illum reddere |
| | Λῇ τοῦτ' ἀποδῶμεν. Λυ. ποῖον ὦ ταν; Λα. τὰν Πύλον. | Velit ambitum muniminis. LVS. Sed quem? LA. Pylon |
| | Ὥσπερ πάλαι δεόμεθα καὶ βλιμάττομες. | Quam flagitantes iamdiu affectauimus. |
| | Αθην. Μὰ τὸν Ποσειδῶ. τοῦτο μέν γ' οὐ δράσετε. | ATH. Te Conse testor, nunquam id impetrabitis. |
| E | Λυ. Ἄφετ' ὠγάθ' αὐτοῖς. Αθην. κᾆτα τίνα κινήσομεν; | LVS. Concedite illis. ATH. Porrò quid mouebimus? |
| | Λυ. Ἕτερον γ' ἀπαιτεῖτ' ἀντὶ τούτου χωρίον. | LVS. Huius vicem poscendus est alter locus. |
| | Αθην. Τὸ δεῖνα τοίνυν παράδοθ' ἡμῖν τουτονὶ | ATH. Cede ergo quemuis alterum, nobis date |
| | Πρώτιστα τὸν Ἐχινοῦντα καὶ τὸν Μηλιᾶ | Echinunta primum, deinde Maliacum sinum |
| | Κόλπον τὸν ὄπισθεν, καὶ τὰ Μεγαρικὰ σκέλη. | Ponè adiacentem, & crura vtrinque Megarica. |
| F | Λα. Οὐ τὼ σιὼ οὐχὶ πάντα γε ὦ λυσσάνιε. | LA. Non per gemellos, omnia ô insanissime. |
| | Λυ. Ἐᾶτε. μηδὲν διαφέρου περὶ σκελοῖν. | LVS. At mittite hæc: pro cruribus ne sit mora. |
| | Αθην. Ἤδη γεωργεῖν γυμνὸς ἀποδὺς βούλομαι. | ATH. Me, nudus vt colam arua, prolubium subit. |
| | Λα. Ἐγὼ δὲ κοπραγωγῆν γα πρῷ ναὶ τὼ σιώ. | LA. At, per Deos, me primum vt arua stercorem. |
| | Λυ. Ἐπὴν διαλλαγῆτε ταῦτα δράσετε. | LVS. Mox ista fient, pacta si sint fœdera: |
| G | Ἀλλ' εἰ δοκεῖ δρᾶν ταῦτα βουλεύσασθε καὶ | Hoc si videtur expedire, inite iam |
| | Τοῖς ξυμμάχοις ἐλθόντες ἀνακοινώσατε | Consilia, socios aduocate cæteris. |
| | Αθην. Ποίοισιν ὦ ταν ξυμμάχοις; ἐστύκαμες. | ATH. Quos, quæso, socios dicis? arrectissimus, |